UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 198.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

δεικτος· τοῖς γὰρ ἐνταῦθα ἐπαίνοις, καὶ ἡ ἀμοιβὴ τῆς εὐποιΐας συγκαταλύεται. εἰ δέ τις τὴν ἐκεῖθεν ἀνταπόδοσιν ζητεῖ, καὶ νῦν λαμβάνει ἀπαρχὰς, κἀκεῖ πλούσιον κομίζεται γέρας.

Τῷ αὐτῷ. ρϛη.

Ἐπειδὴ ἄριστά σοι εἶπας πεφηνέναι τὰ πρότερα, δέχου καὶ ἄλλην οὐκ ἀναξίαν ἐκείνης διάνοιαν, τὴν τῶν Ἑβραίων ἀρρένων μιαιφονίαν ὁμοίᾳ θεὸς ἀντημείψατο ἐκδικήσει, ἐν τῇ ἐρυθρᾷ πάντας ἄρρενας ἀποπνίξας, ἵνα καὶ τοῖς σώμασιν ἔχῃ ἡ δίκη τὸ ὅμοιον. πρόσεχε τοίνυν ἀσφαλῶς, καὶ μὴ μέμφου προπετῶς.

Διδύμῳ. ρϛθ.

Κόκκῳ σινάπεως τὴν οὐράνιον βασιλείαν ἀπεικάζει ὁ κύριος, πλείστων ἕνεκα τρόπων, διὰ τὴν εὐτέλειαν τῆς ἐν τῇ οἰκείᾳ συγκαταβάσει πτωχείας, ἀφ᾽ ἧς ἡμῖν ἡ σκιὰ καὶ ἀνάψυξις ἀπὸ πασῶν τῶν ἐν τῷ βίῳ γέγονεν ὀδυνῶν, διὰ τὴν ἐν ἀρχῇ τοῦ εὐαγγελίου τοῦ ποιμνίου σμικρότητα. διὰ τὴν ἔμφυτον τοῦ κόκκου δριμύτητα, ἧς καὶ χρήζει ὁ τῆς στενῆς ἔμπορος ὁδοῦ, διὰ τὸ μὴ διακόπτεσθαι, ἀλλὰ τὴν ἀδιαίρετον σώζειν ὑπόστασιν. ὁ γὰρ θεῷ ἑνωθεὶς, καὶ εἰς ἕνα τέλειον ἄνθρωπον συναρμολογηθεὶς, ἀδιαίρετον ἔχειν καὶ ἄτμητον τὴν πρὸς αὐτὸν ὀφείλει συνάφειαν, οὐδενὶ πάθει χωριζομένην, ἀλλ᾽ ὅλην αὐτῷ συντεταγμένην.

Ἥρωνι διακόνῳ. σ.

Ἡ τῶν προφητικῶν ῥημάτων διάνοια, τοιαύτην ἔχει σαφήνειαν· ἐκάλυπτον δάκρυσι τὸ θυσιαστήριόν μου, φησὶν ὁ θεὸς, δάκρυσιν ἀδικουμένων, ἁρπαζομένων, συκοφαντουμένων. τούτου χάριν καὶ ἐπ᾽ ἐλέγχου τίθησι ταῦτα μεμφόμενος, καὶ τῶν συμβάντων ἀπη-

catio cum iis qui inopia conflictantur. Etenim cum huius vitæ laudibus beneficij quoque dati merces vnà extinguitur. Sin autem quispiam futuram mercedem quærit, ille & nunc primitias accipit, & illic amplum & copiosum præmium refert.

*Eidem.* 198.

Quoniam optima tibi priora visa esse dixisti, aliam quoque illa minimè indignã sententiam accipe. Nefariæ masculorum Hebræorum cædi Deus eãdem vltionem *Exod. 1.* ac pœnam rependit, omnibus maribus in rubro mari oppressis ac suffocatis: quo nimirum corporibus quoque pœna similitudinem haberet. Quocirca prudenter attẽde, non autem temerè reprehende.

*Didymo.* 199.

Plurimis de causis Dominus cælorum *Matt. 13.* regnum sinapis grano comparauit, nempè ob paupertatis, quam pro indulgenti sua demissione subiit, vilitatem, quæ nobis vmbram atque ab huius vitæ doloribus leuationem conciliauit: ob ouilis, in Euangelij primordiis, tenuitatem: ob naturalem sinapis acrimoniam, qua etiam opus habet is, qui per arctam viam mercaturæ causa graditur: ac denique quia ne sectione quidam amputatur, verùm indiuulsam hypostasim conseruat. Nam qui Deo copulatus, atque in vnum perfectum hominem compactus est, eiusmodi cum eo coniunctionem habere debet, quæ diuidi ac scindi nequeat, nec vlla calamitate diuelli possit, verùm omni ex parte cum eo coniuncta sit. *Qualis esse debet, qui Deo copulatus est.*

*Heroni Diacono.* 200.

Propheticorum verborũ sententia hanc *Malac. 2.* explanationem habet: operiebant lachrymis altare meum, ait Deus, lachrymis, inquam, eorum qui iniuria afficiebantur, quibúsque facultates suæ eripiebantur, atque calumniæ comparabantur. Eóque nomine hæc ipsis crimini vertit, cùm iis suc-